CAPVT IIII.

POst hæc autem, quid sit ipsa virtus, considerandum est. Quoniam igitur tria sunt, quæ in anima efficiuntur, affectus, facultates, habitus: aliquid ex iis esse virtutem necesse est. Affectus autem voco cupiditatem, iram, excandescentiam, timorem, fiduciam, inuidiam, gaudium, amicitiam, odium, desiderium, æmulationē, misericordiam: ea denique omnia quæ voluptas vel dolor consequitur. Facultates vero seu potentias eas, quibus idonei esse dicimur, vt his omnibus afficiamur: id est quibus vel irasci, vel dolere, vel misereri possumus. Sed habitus eos appello, quibus vel bene vel male ad affectus nos habemus: vt ad irascendum, si vehementer, aut remisse, male: si mediocriter bene. simili modo ad reliqua. Affectus igitur, neque ipsæ virtutes, neque ipsa vitia sunt. Nam neque ex illis boni vel mali dicimur, sed ex virtutibus aut vitiis: neq. ex illis laudari, aut vituperari consueuimus: non enim qui timet, aut irascitur, laudatur: neque qui irascitur absolutè, vituperatur: sed qui quodammodo ita afficitur: sed ex virtutibus & vitiis & laudamur & vituperamur. Præterea irascimur & timemus sine electione: virtutes verò sunt electiones quædam aut non sine electione existunt. Adhuc, ex affectibus moueri dicimur, ex virtutibus verò & vitiis non moueri, sed quodammodo disponi. Propterea neque facultates & potentiæ sunt, quippe cùm neque boni neque mali ob id dicamur, quòd absolutè agere possimus: neque laudemur aut vituperemur. Adde quòd facultate præditi & potentes natura sumus: boni aut mali, sicut superius diximus, natura minimè efficimur. Si ergo virtutes neque affectus sunt, neque facultates: habitus necessario sunt. Quid igitur sit virtus genere, ita dictum est.

CAPVT V.

OPortet autem, vt non solùm ita dicamus, habitum esse virtutem: sed qualissnam habitus ea sit, quoque explicemus. Dicendum est igitur, omnem virtutem, & ipsum id, cuius est virtus, bene affectum reddere, & opus eius bene efficere. exempli gratia, oculi virtus & oculum ipsum, & opus ipsius bonũ facit: quippe cum oculi virtute fiat, vt bene inspiciamus. simili modo equi virtus & equum ipsum probum efficit, & ad cursum, gestandúmque sessorem, ac sustinendos hostes idoneum.

A Κεφάλαιον ϛ.

ΜΕτὰ δὲ ταῦτα τί ὄζιν ἡ ἀρετὴ σκεπτέον· ἐπεὶ οὖν τὰ ἐν τῇ ψυχῇ γινόμενα, τρία ὄζι· πάθη, δυνάμεις, ἕξεις, τούτων τι ἂν εἴη ἡ ἀρετή. λέγω δὲ, πάθη μὲν, ἐπιθυμίαν, ὀργὴν, [θυμὸν,] φόβον, θράσος, φθόνον, χαρὰν, φιλίαν, μῖσος, πόθον, ζῆλον, ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη· δυνάμεις δὲ κατ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον κατ' ἃς δυνατοὶ ὀργισθῆναι, ἢ λυπηθῆναι, ἢ ἐλεῆσαι· ἕξεις δὲ, κατ' ἃς πρὸς τὰ πάθη ἔχομεν εὖ ἢ κακῶς, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν· εἰ δὲ μέσως, εὖ. ὁμοίως δὲ καὶ πρὸς τὰ ἄλλα. πάθη μὲν οὖν ἐν εἰσὶν, οὔτ' αἱ ἀρεταὶ, οὔτ' αἱ κακίαι, ὅτι οὐ λεγόμεθα κατὰ τὰ πάθη ἀποδεδοῦναι ἢ φαῦλοι· κατὰ δὲ τὰς ἀρετὰς ἢ κακίας λεγόμεθα· καὶ ὅτι, κατὰ μὲν τὰ πάθη, οὔτ' ἐπαινούμεθα, οὔτε ψεγόμεθα· οὐ γὰρ ἐπαινεῖται ὁ φοβούμενος, οὐδὲ ὁ ὀργιζόμενος· οὐδὲ ψέγεται ὁ ἁπλῶς ὀργιζόμενος, ἀλλ' ὁ πῶς· κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. ἔτι, ὀργιζόμεθα μὲν καὶ φοβούμεθα, ἀπροαιρέτως· αἱ δὲ ἀρεταὶ προαιρέσεις τινὲς, ἢ οὐκ ἄνευ προαιρέσεως. πρὸς δὲ τούτοις, κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα· κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας, οὐ κινεῖσθαι, ἀλλὰ διακεῖσθαί πως. διὰ ταῦτα δὲ, οὐδὲ δυνάμεις εἰσίν· οὔτε γὰρ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι πάσχειν ἁπλῶς, οὔτε κακοί· οὔτε ἐπαινούμεθα, οὔτε ψεγόμεθα. καὶ ἔτι, δυνατοὶ μὲν ἐσμὲν φύσει· ἀγαθοὶ δὲ ἢ κακοὶ, οὐ γινόμεθα φύσει. εἴπομεν δὲ πρὸ τούτου πρότερον. εἰ οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ, μήτε δυνάμεις, λείπεται ἕξεις αὐτὰς εἶναι· ὅ, τι μὲν οὖν ὄζι τῇ γένει ἡ ἀρετὴ, εἴρηται.

Κεφάλαιον ε.

ΔΕῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. ῥητέον οὖν ὅτι πᾶσα ἀρετὴ, οὗ ἐστὶν ἀρετὴ, αὐτό τε εὖ ἔχον ἀποτελεῖ, καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν· οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ, τόν τε ὀφθαλμὸν ἀγαθὸν ποιεῖ, καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. ὁμοίως ἡ τοῦ ἵππου ἀρετὴ, ἵππόν τε ἀγαθὸν ποιεῖ, καὶ ἀγαθὸν δρομεῖν, καὶ ἐνεγκεῖν τὸν ἀναβάτην, καὶ μένειν τοὺς πολεμίους.

εἰ δὴ τοῦτ'